www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΟΜΟΛΟΓΗΤΑΣ, ΓΟΥΡΙΑΝ, ΑΒΙΒΟΝ & ΣΑΜΩΝΑΝ

*(Ὧν ἡ μνήμη τῇ 15ῃ Νοεμβρίου)*

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ϙβι' * 2010 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΟΜΟΛΟΓΗΤΑΣ, ΓΟΥΡΙΑΝ, ΑΒΙΒΟΝ & ΣΑΜΩΝΑΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς ΡΜΒ΄(142)*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου.

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*εἶτα τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια.*

*Ἦχος δ'. Ὁ ὑψωθεὶς.*

Ὁμολογήσαντες Τριάδος τὴν πίστιν, πρὸ τῶν τυράννων ἠξιώθητε σύντρεις, τοῦ στέφους ἁγιότητος, καὶ δόξης τοῦ Θεοῦ· ὅθεν τοὺς προστρέχοντας, τῇ ὑμῶν ἱκεσίᾳ, πάσης ἀπαλλάττετε, ἀσθενείας καὶ νόσου, καὶ τὴν εἰρήνην δότε ταῖς ψυχαῖς, ὅπως τιμῶμεν, ὑμᾶς τρισμακάριοι.

*Δόξα, ὅμοιον.*

Ἐν περιστάσεσι τελοῦντες τοῦ βίου, καὶ ἀσθενείαις περικείμενοι πλείσταις, προστρέχομεν μακάριοι σεπτῷ ὑμῶν ναῷ, ἔνθα ἀσπαζόμενοι, τὴν ἁγίαν εἰκόνα, χάριτας εὑρίσκομεν, καὶ γαλήνην τὴν θείαν, τριὰς Κυρίου Ὁμολογητῶν, τῆς Λευκωσίας, προστάται χριστόδοτοι.

*Καὶ νῦν, Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλεται ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Τριὰς Ὁμολογητῶν, πρεσβεύετε Τριάδι. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Τριάδα κηρύξαντες εὐθαρσῶς, θεότητα μόνην, καὶ ἀθλήσαντες εὐσθενῶς, Ὁμολογηταὶ ἡμῖν δοθῆναι, τῶν αἰτημάτων ταχεῖαν τὴν πλήρωσιν.

Ῥεόντων πατήσαντες ἡδονάς, Χριστῷ ὁμοψύχως, προσηνέχθητε λογικαί, θυσίαι καὶ πάντων τῶν τιμώντων, τὰς ἱκεσίας προσδέχεσθε Ἅγιοι.

Ἰάσασθε νόσους τὰς ψυχικάς, καὶ νόσους σωμάτων, ὦ τριὰς Ὁμολογητῶν, ὑγίειαν διδόντες δεομένοις, καὶ τὴν εἰρήνην Χριστοῦ ἀκατάβλητον.

*Θεοτοκίον*

Ἀνύμφευτε Μῆτερ τοῦ Ἰησοῦ, Ὃν μόνον Δεσπότην, ἡ τριὰς Ὁμολογητῶν, ἐκήρυξε πάσῃ παῤῥησίᾳ, Αὐτὸν ἡμᾶς ἀγαπῆσαι ἀξίωσον.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Σαμωνᾶ θεοφόρε, τῷ τοῦ Χριστοῦ ἔρωτι, ὅλος τὴν ψυχὴν πεφλεγμένος, οὐ κατενάρκησας, εἰς τὸ μαρτύριον, διὸ παράσχου εὐχαῖς σου, πᾶσι τοῖς τιμῶσί σε, θείαν ἀγάπησιν.

Ὁλοψύχως Γουρία, ἀθλητικὸν φρόνημα, δείξας τὰς βασάνους ὑπέστης, διὰ τὸν Κύριον, Ὃν καθικέτευε, ὑπομονὴν ἡμῖν δοῦναι, ἐν ταῖς βίου θλίψεσι, καὶ γενναιότητα.

Μηδαμῶς ὑποκύψας, ταῖς ἀπειλαῖς Ἄβιβε, ἀλλ᾽ ὡς ἄκμων θεῖος ἀντέστης, καὶ ἐμαρτύρησας, λαβὼν ὡς χάρισμα, τὴν ἐν εὐχαῖς παῤῥησίαν, ἣν δεῖξον τοῖς πόθῳ σε, καταγεραίρουσι.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὁ Υἱός σου Παρθένε, τῶν ἀθλητῶν πέφυκε, πόθος καὶ σκοπὸς καὶ γλυκύτης, δι᾽οὗ ἐνίκησαν, πικρίαν ἄμετρον, τῶν ἀπανθρώπων βασάνων, καὶ ἡμῶν γεγόνασι, πρότυπα πίστεως.

Διάσωσον, τριὰς σεπτῶν Ὁμολογητῶν τοῦ Κυρίου, τοὺς σὲ τιμῶντας ἐκ βλάβης ἁπάσης καὶ θλίψεως, ἐξάγουσα τούτους δεινῶν, καὶ τοῦ βίου ποικίλων σκανδάλων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τριάδα σεπτήν, καὶ θείαν ἐδοξάσατε, λαβόντες πολλήν, ἱκεσιῶν τὴν δύναμιν, ἣν νῦν ἐπιδείξασθε, τοῖς αἰτοῦσιν ταύτην ἐκ πίστεως, τριὰς τῶν Ὁμολογητῶν, χριστιανῶν ὑπέρμαχοι.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Λεοντίως ἠγώνισαι, ὡς ἐστιν Γουρία ἡ θεία κλῆσίς σου, καὶ ἐχθρὸν μυρμηκολέοντα, καταργεῖς ἡμᾶς τὸν ἐκπειράζοντα.

Οἷα στάχυς τεθέρισαι, Ἄβιβε κηρύξας Χριστοῦ θεότητα, καὶ πρεσβεύεις ὡς φιλάδελφος, ὑπὲρ τῶν τιμώντων σου τὴν ἄθλησιν.

Γῆ καθάπερ πανεύφορος, Σαμωνᾶ ἐδείχθης τῷ μαρτυρίῳ σου, ἐκβλυστάνων τὰ ἰάματα, τοῖς ἐξαιτουμένοις τὰς πρεσβείας σου.

*Θεοτοκίον*

Ἡλιόμορφε Δέσποινα, φώτισον ψυχήν μου κακῶς ὑπνώττουσαν, καὶ ἐργάτην με ἀνάδειξον, τοῦ Εὐαγγελίου ἀνεπαίσχυντον.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τρίφωτε λαμπάς, τῶν Μαρτύρων σκότος δίωξον, ἀπὸ ψυχῶν τῶν ἀνυμνούντων σε, καὶ Κυρίου, τῷ φωτὶ ἡμᾶς κατάλαμψον.

Ὡς τῶν πρεσβειῶν, κεκτημένοι θεῖον χάρισμα, τὰ αἰτήματα προσδέξασθε πιστῶν, καὶ Τριάδι, ταῦτα Μάρτυρες προσάξατε.

Νοῦν ἡμῶν ναόν, τοῦ Κυρίου ἀναδείξατε, ἐν ᾧ τὴν μνήμην ἐγκαινίσατε Χριστοῦ, πικρίαν βίου, ἀφανίζουσαν μακάριοι.

*Θεοτοκίον*

Πόλεμον δεινόν, λογισμῶν Ἁγνὴ εἰρήνευσον, τῶν ἐκζητούντων τοὺς πιστοὺς καταβαλεῖν, ἡ Εἰρηνάρχην, Ἰησοῦν ὡς βρέφος τέξασα.

*Ὠιδὴ ϛ'. Τὴν δέησιν.*

Ῥωσθέντος σου, ἐγκρατείᾳ πρότερον καὶ ἀγάπῃ τοῦ Κυρίου Γουρία, περιχαρῶς, τὰς βασάνους ὑπέστης, δι' ὧν Αὐτῷ θαυμαστῶς συνεσταύρωσαι, ἡμῖν λιπὼν ὑπογραμμόν, ὑπομένειν τὰς θλίψεις καὶ σκάνδαλα.

Ἐπλήρωσας, γενναιόφρον Ἄβιβε, ἱερὰν διακονίαν Κυρίου, πυρὶ δοθείς, καὶ τὸ στέφος τῆς δόξης, ἀπολαβὼν ὡς μισθὸν πυρπολήσεως, διὸ τοῦ Πνεύματος τὸ πῦρ, ταῖς καρδίαις ἡμῶν τήρει ἄσβεστον.

Σφριγῶντί σοι, συμπλακεὶς ὁ δόλιος, Σαμωνᾶ ὥσπερ στρουθὸς κατεβλήθη, καὶ ὁ Χριστός, ὁ καλὸς ἀθλοθέτης, σὲ παραδείσῳ ἐδέξατο χαίροντα, ἐν ᾧ μνημόνευε ἡμῶν, πολεμούντων τὸν δόλιον δράκοντα.

*Θεοτοκίον*

Βοήθει μοι, Παναγία Δέσποινα, ἐν βυθῷ κατακειμένῳ πικρίας, ἐκ τῶν πολλῶν, συμπτωμάτων τοῦ βίου, καὶ μὴ ἑτέραν βοήθειαν ἔχοντι, εἰμὴ τὴν σὴν συναρωγήν, ἣν ταχέως Κυρία φανέρωσον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Διάσωσον, τριὰς σεπτῶν Ὁμολογητῶν τοῦ Κυρίου, τοὺς σὲ τιμῶντας ἐκ βλάβης ἁπάσης καὶ θλίψεως, ἐξάγουσα τούτους δεινῶν, καὶ τοῦ βίου ποικίλων σκανδάλων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Τῷ σεπτῷ ὑμῶν οἴκῳ προστρέχοντες, αἰτημάτων προβάλλομεν πλήρωσιν, ὅτι πλήθει, καταβαλλόμεθα μακάριοι παθῶν, πολλὴν προξενούντων ταῖς ψυχαῖς, ἀδημονίαν χαλεπήν, ἀθυμίαν καὶ τάραχον· ὅθεν ὡς παῤῥησίαν, ἔχοντες ἀθλοφόροι, Γουρία, Ἄβιβε καὶ Σαμωνᾶ, τῷ Κυρίῳ πρεσβεύσατε.

*Καὶ εὐθὺς τὸ Προκείμενον.*

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. *Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν.*

## Εὐαγγέλιον,

*Ἐκ τοῦ κατὰ Ματθαῖον* (ι'32-ια'1)

Εἶπεν ὁ Κύριος· Πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅστις δ’ ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

*Δόξα Πατρί.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὁμολογητῶν σου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.*

Τὴν Χριστοῦ θεότητα, καὶ τῆς Τριάδος τὴν πίστιν, καθομολογήσαντες, πρὸ τυράννων Ἅγιοι συμμετέσχετε, τοῦ σταυροῦ ἀθλήσαντες, ἐν πολλαῖς βασάνοις, καὶ λαβόντες στέφος ἄφθαρτον, πιστῶν κατέστητε παρακλήτορες, τὰς νόσους ἐκδιώκοντες, καὶ τὰς ἀσθενείας ἰώμενοι. Ὅθεν ὡς προστάτας, καὶ πρέσβεις δυνατοὺς πρὸς τὸν Θεόν, ὑμᾶς τιμῶμεν ὦ Ἄβιβε, Σαμωνᾶ, Γουρία τε.

Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμμένος ἀπὸ σοῦ ἐκπορεύεται, Ἁγνὴ Παρθένε Θεοτόκε, ἀλλ' αἰτεῖται τὴν χάριν καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Μεταβολὴ τῶν βλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐν εἱρκτῇ κεκλεισμένον, τῶν παθῶν μου Γουρία διάσωσον, καὶ φῶς τοῦ Ἰησοῦ μου, ψυχῇ μου καταπέμψαις, ὃ καὶ σὲ κατεφώτισεν, ὅπως τηρῶν ἐντολάς, αὐτοῦ σωθῶ ὁ τάλας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὑπομείνας χειρῶν σου, Σαμωνᾶ τὴν ἐξάρτησιν τὴν πολύωρον, νῦν ταύτας τῷ Κυρίῳ, ὑπὲρ ἡμῶν αἰτούντων, ὡς φιλάδελφος ἔπαρε, ἵνα τὰς νόσους ψυχῶν, καὶ τῶν σωμάτων ἄρῃ.

Ἐκ Χριστοῦ τῆς ἀγάπης, τῆς τεκούσης σε φίλτρον οὐ διεχώρισεν, ἀλλὰ φλογὶ ἐνθέῳ, πυρὶ Ἄβιβε χαίρων, πρὸ αὐτῆς τετελείωσαι, καὶ τῶν πιστῶν τὰς εὐχάς, πληροῖς ἱερομάρτυς.

*Θεοτοκίον*

Τὴν σὴν σκέπην κατέχων, Παναμώμητε εὔδιον καταφύγιον, στρουθὸς καθάπερ τρέχω, ὑπὸ τὰς πτέρυγάς σου, καὶ εἰρήνης πληρούμενος, δοξολογῶ τὸν ἐκ σοῦ, ἀφράστως γεννηθέντα.

*Ὠιδὴ η'. Τὸν βασιλέα.*

Ἔδεσσα ἔσχε, τὸν ἱερὸν ὑμῶν τάφον, ἰατρεῖον τῶν πολυτρόπων νόσων, ἡ δὲ Λευκωσία, πλουτεῖ λαμπρὸν σεμνεῖον.

Τριάδι θείᾳ, συμπαρεστῶτες πρεσβείας, μὴ ἐλλίπητε Μάρτυρες προσφέρειν, ὑπὲρ τῶν τιμώντων, ὑμῶν τὴν θείαν μνήμην.

Ῥύσασθε πάντας, τοὺς προσιόντας ἐν πίστει, καὶ εἰκόνα ὑμῶν ἀσπαζομένους, ἐκ σκανδάλων βίου, καὶ πάσης ἀσθενείας.

*Θεοτοκίον*

Ἴασαι Μῆτερ, Χριστιανῶν πᾶσαν νόσον, ἡ τεκοῦσα Σωτῆρα τῶν ἀνθρώπων, καὶ αὐτοῦ τὴν δόξαν, μεγαλυνόντων πίστει.

*Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.*

Ἀνάγκης πάσης ῥύου, Σαμωνᾶ τρισμάκαρ, τοὺς σὲ τιμῶντας καὶ πρέσβυν προβάλλοντας, πρὸς τὸν Δεσπότην, Οὗ θεῖον, πῦρ σε κατέφλεξε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Δαιμόνων μισανθρώπων, φύλαττε Γουρία, τοὺς φιλαγίως τιμῶντας τὴν μνήμην σου, καὶ τὴν ὑγείαν, παράσχου, τοῖς νόσοις πάσχουσιν.

Ἱέρευσας ἀξίως, Ἄβιβε τρισμάκαρ, καὶ τῷ Θεῷ ὁλικῶς ἀνατέθεισαι, Οὗ τὴν ἀγάπην καρδίαις, ἡμῶν ἐμφύτευσον.

*Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, τὴν σεπτὴν τριάδα, τῶν ἐν Ἐδέσσῃ Μαρτύρων παράλαβε, συμπρεσβευτὰς πρὸς Δεσπότην, ὑπὲρ τῶν δούλων σου.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

*καὶ τὰ ἑξῆς Μεγαλυνάρια*

Τρίπλοκος χορεία ἀθλητική, Ἄβιβος ὁ θεῖος, καὶ Γουρίας σὺν Σαμωνᾷ, ὤφθησαν τῷ κόσμῳ, ὁμολογίας χάριν, καὶ πειρασμῶν τὴν λύσιν, ἡμῖν βραβεύοντες.

Τῆς Τριάδος Μάρτυρες θαυμαστοί, ἀσκητὰ Γουρία, καὶ χριστόψυχε Σαμωνᾶ, ἅμα τῷ Ἀβίβῳ, πρεσβεύσατε Κυρίῳ, καὶ τὰς ἡμῶν δεήσεις, ταχὺ πληρώσατε.

Ὁ ἐν Λευκωσίᾳ θεῖος ναός, τριὰς Ἀθλοφόρων, τὴν εἰκόνα ὑμῶν πλουτῶν, ἰατρεῖον πέλει, τοῖς πίστει προσιοῦσι, καὶ αἰτουμένοις πόθῳ, νόσων τὴν ἴασιν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀπὸ περιστάσεων χαλεπῶν, Νῆσον τῶν Ἁγίων, ὢ τριὰς Ὁμολογητῶν, σκέπετε διδόντες, αὐτῇ ἐλευθερίαν, πιστῶς ὀρθοδοξοῦσαν, καὶ εἰρηνεύουσαν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὰ παρόντα προσόμοια.*

*Ἦχος β.ʹ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Μνήματι κατάκειμαι πικρῷ, πάσης ἀθυμίας καὶ ἄχθους, περιβαλλόμενος, ὥσπερ πάλαι ἔκειτο, ἐγκεκλεισμένη γυνή, καὶ βοῶ ἀναγάγετε, καθάπερ ἐκείνην, ταῖς ὑμῶν πρὸς Κύριον, ἱκετηρίαις φωναῖς· ἵνα μεγαλύνω τὴν δόξαν, ἣν ἐν Παραδείσῳ πλουτεῖτε, Ὁμολογητῶν τριὰς ἡ ἔνδοξος.

Ἔχοντες πολλὴν πρὸς τὸν Θεόν, τὴν ὑπὲρ πιστῶν παῤῥησίαν, Ἅγιοι Μάρτυρες, Τοῦτον ἱκετεύσατε, ὄντες φιλάδελφοι, ὅπως πᾶσαν ἀσθένειαν, ψυχῶν καὶ σωμάτων, ἀπελάσῃ πόῤῥωθεν, καὶ ἐνοικήσῃ ἡμῖν, Πνεύματος ἁγίου ἡ χάρις, καὶ τοῦ Παραδείσου πολῖται, Ὁμολογηταὶ σεπτοὶ γενώμεθα.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου,εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

*Δι᾽ εὐχῶν.*

*Στίχοι*

Ὁμολογητῶν τριὰς ἡ μακαρία,
Μνήσθητε ἡμῶν πρεσβεύοντες Τριάδι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ